# Πέτρου Β

Συμεὼν[1] Πέτρος, δοῦλος καὶ ἀπόστολος Ἰησοῦ χριστοῦ, τοῖς ἰσότιμον[2] 1
ἡμῖν λαχοῦσιν[3] πίστιν ἐν δικαιοσύνῃ τοῦ θεοῦ ἡμῶν καὶ σωτῆρος[4]
Ἰησοῦ χριστοῦ: χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη[5] ἐν ἐπιγνώσει[6] τοῦ 2
θεοῦ, καὶ Ἰησοῦ τοῦ κυρίου ἡμῶν: ὡς πάντα ἡμῖν τῆς θείας[7] 3
δυνάμεως αὐτοῦ τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν[8] δεδωρημένης,[9] διὰ τῆς
ἐπιγνώσεως[6] τοῦ καλέσαντος ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς:[10] δι᾽ ὧν τὰ 4
τίμια[11] ἡμῖν καὶ μέγιστα ἐπαγγέλματα[12] δεδώρηται,[9] ἵνα διὰ τούτων
γένησθε θείας[7] κοινωνοὶ[13] φύσεως,[14] ἀποφυγόντες[15] τῆς ἐν κόσμῳ ἐν
ἐπιθυμίᾳ φθορᾶς.[16] Καὶ αὐτὸ τοῦτο δέ, σπουδὴν[17] πᾶσαν 5
παρεισενέγκαντες,[18] ἐπιχορηγήσατε[19] ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετήν,[10]
ἐν δὲ τῇ ἀρετῇ[10] τὴν γνῶσιν,[20] ἐν δὲ τῇ γνώσει[20] τὴν ἐγκράτειαν,[21] ἐν 6
δὲ τῇ ἐγκρατείᾳ[21] τὴν ὑπομονήν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν,[8] ἐν 7
δὲ τῇ εὐσεβείᾳ[8] τὴν φιλαδελφίαν,[22] ἐν δὲ τῇ φιλαδελφίᾳ[22] τὴν
ἀγάπην. Ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα καὶ πλεονάζοντα,[23] οὐκ ἀργοὺς[24] 8
οὐδὲ ἀκάρπους[25] καθίστησιν[26] εἰς τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ
χριστοῦ ἐπίγνωσιν.[6] Ὧ γὰρ μὴ πάρεστιν[27] ταῦτα, τυφλός ἐστιν, 9
μυωπάζων,[28] λήθην[29] λαβὼν τοῦ καθαρισμοῦ[30] τῶν πάλαι[31] αὐτοῦ

[1] Συμεών, ὁ, Simeon, Simeon. [2] ἰσότιμος, equal, like. [3] λαγχάνω, chose by lot, receive. [4] σωτήρ, ῆρος, ὁ, savior, deliverer. [5] πληθύνω, multiply, increase. [6] ἐπίγνωσις, εως, ἡ, knowledge, discernment. [7] θεῖος, divine. [8] εὐσέβεια, ας, ἡ, godliness, piety. [9] δωρέομαι, present, bestow. [10] ἀρετή, ῆς, ἡ, virtue, moral excellence. [11] τίμιος, precious, honorable. [12] ἐπάγγελμα, τος, τό, promise. [13] κοινωνός, οῦ, ὁ, partner, sharer. [14] φύσις, εως, ἡ, nature, inherent nature. [15] ἀποφεύγω, escape, escape from. [16] φθορά, ᾶς, ἡ, destruction, corruption. [17] σπουδή, ῆς, ἡ, haste, diligence. [18] παρεισφέρω, apply, bring to bear. [19] ἐπιχορηγέω, supply, provide. [20] γνῶσις, εως, ἡ, wisdom, knowledge. [21] ἐγκράτεια, ας, ἡ, mastery, self-control. [22] φιλαδελφία, ας, ἡ, love of brothers, brotherly love. [23] πλεονάζω, superabound, make to abound. [24] ἀργός, inactive, idle. [25] ἄκαρπος, unfruitful, barren. [26] καθίστημι, set, constitute. [27] πάρειμι, be present, have arrived. [28] μυωπάζω, be short-sighted, blink. [29] λήθη, ης, ἡ, forgetfulness. [30] καθαρισμός, οῦ, ὁ, cleansing, purification. [31] πάλαι, long ago, of old.

ἁμαρτιῶν. Διὸ μᾶλλον, ἀδελφοί, σπουδάσατε[1] βεβαίαν[2] ὑμῶν τὴν 10
κλῆσιν[3] καὶ ἐκλογὴν[4] ποιεῖσθαι: ταῦτα γὰρ ποιοῦντες οὐ μὴ
πταίσητέ[5] ποτε: οὕτως γὰρ πλουσίως[6] ἐπιχορηγηθήσεται[7] ὑμῖν ἡ 11
εἴσοδος[8] εἰς τὴν αἰώνιον βασιλείαν τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος[9]
Ἰησοῦ χριστοῦ.

Διὸ οὐκ ἀμελήσω[10] ἀεὶ[11] ὑμᾶς ὑπομιμνῄσκειν[12] περὶ τούτων, καίπερ[13] 12
εἰδότας, καὶ ἐστηριγμένους[14] ἐν τῇ παρούσῃ[15] ἀληθείᾳ. Δίκαιον δὲ 13
ἡγοῦμαι,[16] ἐφ᾽ ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι,[17] διεγείρειν[18] ὑμᾶς
ἐν ὑπομνήσει:[19] εἰδὼς ὅτι ταχινή[20] ἐστιν ἡ ἀπόθεσις[21] τοῦ 14
σκηνώματός[17] μου, καθὼς καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς χριστὸς
ἐδήλωσέν[22] μοι. Σπουδάσω[1] δὲ καὶ ἑκάστοτε[23] ἔχειν ὑμᾶς μετὰ τὴν 15
ἐμὴν ἔξοδον[24] τὴν τούτων μνήμην[25] ποιεῖσθαι. Οὐ γὰρ 16
σεσοφισμένοις[26] μύθοις[27] ἐξακολουθήσαντες[28] ἐγνωρίσαμεν[29] ὑμῖν τὴν
τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ δύναμιν καὶ παρουσίαν,[30] ἀλλ᾽
ἐπόπται[31] γενηθέντες τῆς ἐκείνου μεγαλειότητος.[32] Λαβὼν γὰρ παρὰ 17
θεοῦ πατρὸς τιμὴν καὶ δόξαν, φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε[33] ὑπὸ
τῆς μεγαλοπρεποῦς[34] δόξης, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, εἰς
ὃν ἐγὼ εὐδόκησα:[35] καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ 18

[1] σπουδάζω, hasten, be eager. [2] βέβαιος, firm, secure. [3] κλῆσις, εως, ἡ, (divine) call, invitation. [4] ἐκλογή, ῆς, ἡ, (divine) selection, choice. [5] πταίω, cause to stumble, stumble. [6] πλουσίως, richly, abundantly. [7] ἐπιχορηγέω, supply, provide. [8] εἴσοδος, ου, ἡ, entrance, entering. [9] σωτήρ, ῆρος, ὁ, savior, deliverer. [10] ἀμελέω, neglect, be unconcerned. [11] ἀεί, always, ever. [12] ὑπομιμνῄσκω, remind, remember. [13] καίπερ, although. [14] στηρίζω, establish, fix firmly. [15] πάρειμι, be present, have arrived. [16] ἡγέομαι, lead, be chief. [17] σκήνωμα, τος, τό, tent, dwelling. [18] διεγείρω, arouse completely, stir up. [19] ὑπόμνησις, εως, ἡ, reminding, reminder. [20] ταχινός, imminent, swift. [21] ἀπόθεσις, εως, ἡ, removal, laying aside. [22] δηλόω, show, make clear. [23] ἑκάστοτε, at any time, always. [24] ἔξοδος, ου, ἡ, departure, exodus. [25] μνήμη, ης, ἡ, memory, remembrance. [26] σοφίζω, make wise, devise craftily. [27] μῦθος, ου, ὁ, fable, myth. [28] ἐξακολουθέω, follow, imitate. [29] γνωρίζω, make known, declare. [30] παρουσία, ας, ἡ, presence, coming. [31] ἐπόπτης, ου, ὁ, eyewitness, spectator. [32] μεγαλειότης, ητος, ἡ, splendor, magnificence. [33] τοιόσδε, such as this, of this kind. [34] μεγαλοπρεπής, magnificent, majestic. [35] εὐδοκέω, think it good, be well pleased with.

οὐρανοῦ ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ. Καὶ ἔχομεν 19
βεβαιότερον[1] τὸν προφητικὸν[2] λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες,[3]
ὡς λύχνῳ[4] φαίνοντι ἐν αὐχμηρῷ[5] τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ,[6] καὶ
φωσφόρος[7] ἀνατείλῃ[8] ἐν ταῖς καρδίαις ὑμῶν· τοῦτο πρῶτον 20
γινώσκοντες, ὅτι πᾶσα προφητεία[9] γραφῆς ἰδίας ἐπιλύσεως[10] οὐ
γίνεται. Οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ[11] προφητεία,[9] ἀλλ’ 21
ὑπὸ πνεύματος ἁγίου φερόμενοι ἐλάλησαν ἅγιοι θεοῦ ἄνθρωποι.

Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται[12] ἐν τῷ λαῷ, ὡς καὶ ἐν ὑμῖν ἔσονται 2
ψευδοδιδάσκαλοι,[13] οἵτινες παρεισάξουσιν[14] αἱρέσεις[15] ἀπωλείας,[16] καὶ
τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην[17] ἀρνούμενοι, ἐπάγοντες[18] ἑαυτοῖς
ταχινὴν[19] ἀπώλειαν.[16] Καὶ πολλοὶ ἐξακολουθήσουσιν[20] αὐτῶν ταῖς 2
ἀσελγείαις,[21] δι’ οὓς ἡ ὁδὸς τῆς ἀληθείας βλασφημηθήσεται. Καὶ ἐν 3
πλεονεξίᾳ[22] πλαστοῖς[23] λόγοις ὑμᾶς ἐμπορεύσονται·[24] οἷς τὸ κρίμα[25]
ἔκπαλαι[26] οὐκ ἀργεῖ,[27] καὶ ἡ ἀπώλεια[16] αὐτῶν οὐ νυστάξει.[28] Εἰ γὰρ ὁ 4
θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο,[29] ἀλλὰ σειραῖς[30] ζόφου[31]
ταρταρώσας[32] παρέδωκεν εἰς κρίσιν τηρουμένους· καὶ ἀρχαίου[33] 5
κόσμου οὐκ ἐφείσατο,[29] ἀλλὰ ὄγδοον[34] Νῶε[35] δικαιοσύνης κήρυκα[36]
ἐφύλαξεν, κατακλυσμὸν[37] κόσμῳ ἀσεβῶν[38] ἐπάξας·[18] καὶ πόλεις 6

[1] βέβαιος, firm, secure. [2] προφητικός, prophetic. [3] προσέχω, take head of, attend to. [4] λύχνος, ου, ὁ, lamp, lantern. [5] αὐχμηρός, dark, gloomy. [6] διαυγάζω, shine through, dawn. [7] φωσφόρος, ου, ὁ, morning star, light-bearing. [8] ἀνατέλλω, cause to rise, make to rise. [9] προφητεία, ας, ἡ, prophecy. [10] ἐπίλυσις, εως, ἡ, explanation, interpretation. [11] ποτέ, once, at some time. [12] ψευδοπροφήτης, ου, ὁ, false prophet. [13] ψευδοδιδάσκαλος, ου, ὁ, false teacher. [14] παρεισάγω, bring in, introduce secretly. [15] αἵρεσις, εως, ἡ, choice, faction. [16] ἀπώλεια, ας, ἡ, destruction, ruin. [17] δεσπότης, ου, ὁ, master, lord. [18] ἐπάγω, bring upon. [19] ταχινός, imminent, swift. [20] ἐξακολουθέω, follow, imitate. [21] ἀσέλγεια, ας, ἡ, licentiousness, debauchery. [22] πλεονεξία, ας, ἡ, covetousness, avarice. [23] πλαστός, fabricated, false. [24] ἐμπορεύομαι, engage in business. [25] κρίμα, ος, τό, judgment, verdict. [26] ἔκπαλαι, long ago, for a long time. [27] ἀργέω, become idle, linger. [28] νυστάζω, become drowsy, doze. [29] φείδομαι, spare, abstain. [30] σειρά, ᾶς, ἡ, cord, rope. [31] ζόφος, ου, ὁ, deep gloom, darkness. [32] ταρταρόω, cast into Tartarus, cast into hell. [33] ἀρχαῖος, old, ancient. [34] ὄγδοος, eighth. [35] Νῶε, ὁ, Noah. [36] κῆρυξ, υκος, ὁ, herald, preacher. [37] κατακλυσμός, οῦ, ὁ, flood, deluge. [38] ἀσεβής, ungodly, impious.

Σοδόμων[1] καὶ Γομόρρας[2] τεφρώσας[3] καταστροφῇ[4] κατέκρινεν,[5]
ὑπόδειγμα[6] μελλόντων ἀσεβεῖν[7] τεθεικώς: καὶ δίκαιον Λώτ,[8] 7
καταπονούμενον[9] ὑπὸ τῆς τῶν ἀθέσμων[10] ἐν ἀσελγείᾳ[11] ἀναστροφῆς,[12]
ἐρρύσατο:[13] βλέμματι[14] γὰρ καὶ ἀκοῇ[15] ὁ δίκαιος, ἐγκατοικῶν[16] ἐν 8
αὐτοῖς, ἡμέραν ἐξ ἡμέρας ψυχὴν δικαίαν ἀνόμοις[17] ἔργοις ἐβασάνιζεν:
οἶδεν κύριος εὐσεβεῖς[19] ἐκ πειρασμοῦ[20] ῥύεσθαι,[13] ἀδίκους[21] δὲ εἰς 9
ἡμέραν κρίσεως κολαζομένους[22] τηρεῖν: μάλιστα[23] δὲ τοὺς ὀπίσω 10
σαρκὸς ἐν ἐπιθυμίᾳ μιασμοῦ[24] πορευομένους, καὶ κυριότητος[25]
καταφρονοῦντας.[26] Τολμηταί,[27] αὐθάδεις,[28] δόξας οὐ τρέμουσιν[29]
βλασφημοῦντες: ὅπου ἄγγελοι, ἰσχΰϊ[30] καὶ δυνάμει μείζονες ὄντες, οὐ 11
φέρουσιν κατ᾽ αὐτῶν παρὰ κυρίῳ βλάσφημον[31] κρίσιν. Οὗτοι δέ, ὡς 12
ἄλογα[32] ζῷα[33] φυσικὰ[34] γεγενημένα εἰς ἅλωσιν[35] καὶ φθοράν,[36] ἐν οἷς
ἀγνοοῦσιν[37] βλασφημοῦντες, ἐν τῇ φθορᾷ[36] αὐτῶν καταφθαρήσονται,
κομιούμενοι[39] μισθὸν[40] ἀδικίας,[41] ἡδονὴν[42] ἡγούμενοι[43] τὴν ἐν ἡμέρᾳ 13
τρυφήν,[44] σπίλοι[45] καὶ μῶμοι,[46] ἐντρυφῶντες[47] ἐν ταῖς ἀπάταις[48]
αὐτῶν συνευωχούμενοι[49] ὑμῖν, ὀφθαλμοὺς ἔχοντες μεστοὺς[50] 14
μοιχαλίδος[51] καὶ ἀκαταπαύστους[52] ἁμαρτίας, δελεάζοντες[53] ψυχὰς

[1] Σόδομα, ων, τό, Sodom. [2] Γόμορρα, ας, ἡ, Gomorrah. [3] τεφρόω, reduce to ashes. [4] καταστροφή, ῆς, ἡ, ruin, destruction. [5] κατακρίνω, condemn. [6] ὑπόδειγμα, τος, τό, copy, example. [7] ἀσεβέω, act impiously, in an ungodly way. [8] Λώτ, ὁ, Lot. [9] καταπονέω, wear down, oppress. [10] ἄθεσμος, lawless, unprincipled. [11] ἀσέλγεια, ας, ἡ, licentiousness, debauchery. [12] ἀναστροφή, ῆς, ἡ, conduct, behavior. [13] ῥύομαι, rescue, save. [14] βλέμμα, τος, τό, look, what is seen. [15] ἀκοή, ῆς, ἡ, hearing, report. [16] ἐγκατοικέω, live, reside. [17] ἄνομος, lawless, without law. [18] βασανίζω, torment, torture. [19] εὐσεβής, pious, devout. [20] πειρασμός, οῦ, ὁ, temptation, trial. [21] ἄδικος, unjust, unrighteous. [22] κολάζω, penalize, punish. [23] μάλιστα, especially, most of all. [24] μιασμός, οῦ, ὁ, defilement, corruption. [25] κυριότης, ητος, ἡ, lordship, dominion. [26] καταφρονέω, think little of, despise. [27] τολμητής, οῦ, ὁ, bold, daring person. [28] αὐθάδης, self-willed, stubborn. [29] τρέμω, tremble, am afraid. [30] ἰσχύς, ύος, ἡ, strength, power. [31] βλάσφημος, blasphemous, slanderous. [32] ἄλογος, without reason, absurd. [33] ζῷον, ου, τό, living creature, animal. [34] φυσικός, natural, according to nature. [35] ἅλωσις, εως, ἡ, capture, taking. [36] φθορά, ᾶς, ἡ, destruction, corruption. [37] ἀγνοέω, not know, be unaware. [38] καταφθείρω, destroy, ruin. [39] κομίζω, receive, bring. [40] μισθός, οῦ, ὁ, wages, reward. [41] ἀδικία, ας, ἡ, unrighteousness. [42] ἡδονή, ῆς, ἡ, pleasure, lust. [43] ἡγέομαι, lead, be chief. [44] τρυφή, ῆς, ἡ, reveling, luxury. [45] σπίλος, ου, ὁ, spot, stain. [46] μῶμος, ου, ὁ, defect, blemish. [47] ἐντρυφάω, delight in, revel. [48] ἀπάτη, ης, ἡ, deceit, deceitfulness. [49] συνευωχέομαι, feast together, carouse together. [50] μεστός, full. [51] μοιχαλίς, ίδος, ἡ, adulteress. [52] ἀκατάπαυστος, unceasing, restless. [53] δελεάζω, lure, entice.

ἀστηρίκτους,[1] καρδίαν γεγυμνασμένην[2] πλεονεξίας[3] ἔχοντες,
κατάρας[4] τέκνα: καταλιπόντες[5] εὐθεῖαν[6] ὁδὸν ἐπλανήθησαν, 15
ἐξακολουθήσαντες[7] τῇ ὁδῷ τοῦ Βαλαὰμ[8] τοῦ Βοσόρ,[9] ὃς μισθὸν[10]
ἀδικίας[11] ἠγάπησεν, ἔλεγξιν[12] δὲ ἔσχεν ἰδίας παρανομίας:[13] ὑποζύγιον 16
ἄφωνον,[15] ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον,[16] ἐκώλυσεν[17] τὴν τοῦ
προφήτου παραφρονίαν.[18] Οὗτοί εἰσιν πηγαὶ[19] ἄνυδροι,[20] νεφέλαι[21] 17
ὑπὸ λαίλαπος[22] ἐλαυνόμεναι,[23] οἷς ὁ ζόφος[24] τοῦ σκότους εἰς αἰῶνα
τετήρηται. Ὑπέρογκα[25] γὰρ ματαιότητος[26] φθεγγόμενοι,[16] 18
δελεάζουσιν[27] ἐν ἐπιθυμίαις σαρκός, ἀσελγείαις,[28] τοὺς ὄντως[29]
ἀποφυγόντας[30] τοὺς ἐν πλάνῃ[31] ἀναστρεφομένους,[32] ἐλευθερίαν[33] 19
αὐτοῖς ἐπαγγελλόμενοι,[34] αὐτοὶ δοῦλοι ὑπάρχοντες τῆς φθορᾶς:[35] ᾧ
γάρ τις ἥττηται,[36] τούτῳ καὶ δεδούλωται.[37] Εἰ γὰρ ἀποφυγόντες[30] τὰ 20
μιάσματα[38] τοῦ κόσμου ἐν ἐπιγνώσει[39] τοῦ κυρίου καὶ σωτῆρος[40]
Ἰησοῦ χριστοῦ, τούτοις δὲ πάλιν ἐμπλακέντες[41] ἡττῶνται,[36] γέγονεν
αὐτοῖς τὰ ἔσχατα χείρονα[42] τῶν πρώτων. Κρεῖττον[43] γὰρ ἦν αὐτοῖς 21
μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης, ἢ ἐπιγνοῦσιν ἐπιστρέψαι
ἐκ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς. Συμβέβηκεν[44] δὲ αὐτοῖς 22
τὸ τῆς ἀληθοῦς[45] παροιμίας,[46] Κύων[47] ἐπιστρέψας ἐπὶ τὸ ἴδιον

[1] ἀστήρικτος, unstable, weak. [2] γυμνάζω, train, undergo discipline. [3] πλεονεξία, ας, ἡ, covetousness, avarice. [4] κατάρα, ας, ἡ, curse, cursing. [5] καταλείπω, leave, leave behind. [6] εὐθύς, immediately, at once. [7] ἐξακολουθέω, follow, imitate. [8] Βαλαάμ, ὁ, Balaam. [9] Βοσόρ, ὁ, Bosor. [10] μισθός, οῦ, ὁ, wages, reward. [11] ἀδικία, ας, ἡ, unrighteousness. [12] ἔλεγξις, εως, ἡ, rebuke, reproof. [13] παρανομία, ας, ἡ, lawlessness, evil-doing. [14] ὑποζύγιον, ου, τό, donkey, ass. [15] ἄφωνος, speechless, mute. [16] φθέγγομαι, utter, speak. [17] κωλύω, forbid, hinder. [18] παραφρονία, ας, ἡ, madness, insanity. [19] πηγή, ῆς, ἡ, spring, fountain. [20] ἄνυδρος, waterless, dry. [21] νεφέλη, ης, ἡ, cloud. [22] λαῖλαψ, απος, ἡ, hurricane, storm. [23] ἐλαύνω, drive or push, row. [24] ζόφος, ου, ὁ, deep gloom, darkness. [25] ὑπέρογκος, arrogant, haughty. [26] ματαιότης, ητος, ἡ, vanity, emptiness. [27] δελεάζω, lure, entice. [28] ἀσέλγεια, ας, ἡ, licentiousness, debauchery. [29] ὄντως, really, indeed. [30] ἀποφεύγω, escape, escape from. [31] πλάνη, ης, ἡ, wandering, error. [32] ἀναστρέφω, return, live. [33] ἐλευθερία, ας, ἡ, liberty, freedom. [34] ἐπαγγέλλομαι, promise, profess. [35] φθορά, ᾶς, ἡ, destruction, corruption. [36] ἡττάομαι, be overcome or defeated, am defeated. [37] δουλόω, enslave, bring under subjection. [38] μίασμα, τος, τό, shameful deed, misdeed. [39] ἐπίγνωσις, εως, ἡ, knowledge, discernment. [40] σωτήρ, ῆρος, ὁ, savior, deliverer. [41] ἐμπλέκω, enfold, entangle. [42] χείρων, worse. [43] κρείττων, stronger, more excellent. [44] συμβαίνω, come together, come to pass. [45] ἀληθής, true, unconcealed. [46] παροιμία, ας, ἡ, proverb, parable. [47] κύων, ος, ὁ, dog.

ἐξέραμα,[1] καὶ ὗς[2] λουσαμένη[3] εἰς κύλισμα[4] βορβόρου.[5]

Ταύτην ἤδη, ἀγαπητοί, δευτέραν ὑμῖν γράφω ἐπιστολήν,[6] ἐν αἷς **3**
διεγείρω[7] ὑμῶν ἐν ὑπομνήσει[8] τὴν εἰλικρινῆ[9] διάνοιαν,[10] μνησθῆναι[11] 2
τῶν προειρημένων[12] ῥημάτων ὑπὸ τῶν ἁγίων προφητῶν, καὶ τῆς τῶν
ἀποστόλων ὑμῶν ἐντολῆς τοῦ κυρίου καὶ σωτῆρος:[13] τοῦτο πρῶτον 3
γινώσκοντες, ὅτι ἐλεύσονται ἐπ᾽ ἐσχάτου τῶν ἡμερῶν ἐμπαῖκται,[14]
κατὰ τὰς ἰδίας ἐπιθυμίας αὐτῶν πορευόμενοι, καὶ λέγοντες, Ποῦ 4
ἐστὶν ἡ ἐπαγγελία τῆς παρουσίας[15] αὐτοῦ; Ἀφ᾽ ἧς γὰρ οἱ πατέρες
ἐκοιμήθησαν,[16] πάντα οὕτως διαμένει[17] ἀπ᾽ ἀρχῆς κτίσεως.[18] 5
Λανθάνει[19] γὰρ αὐτοὺς τοῦτο θέλοντας, ὅτι οὐρανοὶ ἦσαν ἔκπαλαι,[20]
καὶ γῆ ἐξ ὕδατος καὶ δι᾽ ὕδατος συνεστῶσα,[21] τῷ τοῦ θεοῦ λόγῳ, δι᾽ 6
ὧν ὁ τότε κόσμος ὕδατι κατακλυσθεὶς[22] ἀπώλετο: οἱ δὲ νῦν οὐρανοὶ 7
καὶ ἡ γῆ τῷ αὐτοῦ λόγῳ τεθησαυρισμένοι[23] εἰσίν, πυρὶ τηρούμενοι εἰς
ἡμέραν κρίσεως καὶ ἀπωλείας[24] τῶν ἀσεβῶν[25] ἀνθρώπων.

Ἓν δὲ τοῦτο μὴ λανθανέτω[19] ὑμᾶς, ἀγαπητοί, ὅτι μία ἡμέρα παρὰ 8
κυρίῳ ὡς χίλια[26] ἔτη, καὶ χίλια[26] ἔτη ὡς ἡμέρα μία. Οὐ βραδύνει[27] ὁ 9
κύριος τῆς ἐπαγγελίας, ὥς τινες βραδυτῆτα[28] ἡγοῦνται:[29] ἀλλὰ
μακροθυμεῖ[30] εἰς ἡμᾶς, μὴ βουλόμενός τινας ἀπολέσθαι, ἀλλὰ

[1] ἐξέραμα, τος, τό, vomit. [2] ὗς, ὑός, ἡ, sow, hog. [3] λούω, bathe, wash. [4] κύλισμα, τος, τό, rolling, wallowing. [5] βόρβορος, ου, ὁ, mire, slime. [6] ἐπιστολή, ῆς, ἡ, letter, dispatch. [7] διεγείρω, arouse completely, stir up. [8] ὑπόμνησις, εως, ἡ, reminding, reminder. [9] εἰλικρινής, pure, sincere. [10] διάνοια, ας, ἡ, mind, understanding. [11] μιμνήσκομαι, remember, recall. [12] προλέγω, say beforehand, forewarn. [13] σωτήρ, ῆρος, ὁ, savior, deliverer. [14] ἐμπαίκτης, ου, ὁ, mocker. [15] παρουσία, ας, ἡ, presence, coming. [16] κοιμάομαι, sleep, fall asleep. [17] διαμένω, remain, continue. [18] κτίσις, εως, ἡ, creation, creature. [19] λανθάνω, escape notice, am hidden. [20] ἔκπαλαι, long ago, for a long time. [21] συνίστημι, commend (transitive), stand with. [22] κατακλύζω, flood, inundate. [23] θησαυρίζω, lay up, store up. [24] ἀπώλεια, ας, ἡ, destruction, ruin. [25] ἀσεβής, ungodly, impious. [26] χίλιοι, thousand. [27] βραδύνω, hesitate, be slow. [28] βραδύτης, ητος, ἡ, slowness, tardiness. [29] ἡγέομαι, lead, be chief. [30] μακροθυμέω, be patient, suffer long.

πάντας εἰς μετάνοιαν[1] χωρῆσαι.[2] Ἥξει[3] δὲ ἡ ἡμέρα κυρίου ὡς 10
κλέπτης[4] ἐν νυκτί, ἐν ᾗ οἱ οὐρανοὶ ῥοιζηδὸν[5] παρελεύσονται,[6]
στοιχεῖα[7] δὲ καυσούμενα[8] λυθήσονται, καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα
κατακαήσεται.[9] Τούτων οὖν πάντων λυομένων, ποταποὺς[10] δεῖ 11
ὑπάρχειν ὑμᾶς ἐν ἁγίαις ἀναστροφαῖς[11] καὶ εὐσεβείαις,[12] 12
προσδοκῶντας[13] καὶ σπεύδοντας[14] τὴν παρουσίαν[15] τῆς τοῦ θεοῦ
ἡμέρας, δι᾽ ἣν οὐρανοὶ πυρούμενοι[16] λυθήσονται, καὶ στοιχεῖα[7]
καυσούμενα[8] τήκεται;[17] Καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν κατὰ τὸ 13
ἐπάγγελμα[18] αὐτοῦ προσδοκῶμεν,[13] ἐν οἷς δικαιοσύνη κατοικεῖ.

Διό, ἀγαπητοί, ταῦτα προσδοκῶντες,[13] σπουδάσατε[19] ἄσπιλοι[20] καὶ 14
ἀμώμητοι[21] αὐτῷ εὑρεθῆναι ἐν εἰρήνῃ. Καὶ τὴν τοῦ κυρίου ἡμῶν 15
μακροθυμίαν[22] σωτηρίαν ἡγεῖσθε,[23] καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν
ἀδελφὸς Παῦλος κατὰ τὴν αὐτῷ δοθεῖσαν σοφίαν ἔγραψεν ὑμῖν: ὡς 16
καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς,[24] λαλῶν ἐν αὐταῖς περὶ τούτων: ἐν οἷς
ἔστιν δυσνόητά[25] τινα, ἃ οἱ ἀμαθεῖς[26] καὶ ἀστήρικτοι[27] στρεβλοῦσιν,[28]
ὡς καὶ τὰς λοιπὰς γραφάς, πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν.[29] Ὑμεῖς 17
οὖν, ἀγαπητοί, προγινώσκοντες[30] φυλάσσεσθε, ἵνα μή, τῇ τῶν
ἀθέσμων[31] πλάνῃ[32] συναπαχθέντες,[33] ἐκπέσητε[34] τοῦ ἰδίου στηριγμοῦ.

[1] μετάνοια, ας, ἡ, repentance, change of mind. [2] χωρέω, make room for, hold. [3] ἥκω, have come, am present. [4] κλέπτης, ου, ὁ, thief. [5] ῥοιζηδόν, with a rushing sound. [6] παρέρχομαι, pass by, go by. [7] στοιχεῖον, τό, elementary principles, elements. [8] καυσόω, burn up. [9] κατακαίω, burn up, consume entirely. [10] ποταπός, what kind of? what type of? [11] ἀναστροφή, ῆς, ἡ, conduct, behavior. [12] εὐσέβεια, ας, ἡ, godliness, piety. [13] προσδοκάω, wait for, look for. [14] σπεύδω, hasten, urge on. [15] παρουσία, ας, ἡ, presence, coming. [16] πυρόω, burn, am purified by fire. [17] τήκω, make liquid, melt. [18] ἐπάγγελμα, τος, τό, promise. [19] σπουδάζω, hasten, be eager. [20] ἄσπιλος, spotless, unstained. [21] ἀμώμητος, blameless, without blame or fault. [22] μακροθυμία, ας, ἡ, long-suffering, patience. [23] ἡγέομαι, lead, be chief. [24] ἐπιστολή, ῆς, ἡ, letter, dispatch. [25] δυσνόητος, hard to understand. [26] ἀμαθής, ignorant, unlearned. [27] ἀστήρικτος, unstable, weak. [28] στρεβλόω, torment, twist. [29] ἀπώλεια, ας, ἡ, destruction, ruin. [30] προγινώσκω, know beforehand. [31] ἄθεσμος, lawless, unprincipled. [32] πλάνη, ης, ἡ, wandering, error. [33] συναπάγω, lead away with, condescend to. [34] ἐκπίπτω, fall away, fall out. [35] στηριγμός, οῦ, ὁ, firmness, steadfastness.

Αὐξάνετε[1] δὲ ἐν χάριτι καὶ γνώσει[2] τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος[3] 18
Ἰησοῦ χριστοῦ. Αὐτῷ ἡ δόξα καὶ νῦν καὶ εἰς ἡμέραν αἰῶνος. Ἀμήν.

[1] αὐξάνω, cause to grow, increase. [2] γνῶσις, εως, ἡ, wisdom, knowledge. [3] σωτήρ, ῆρος, ὁ, savior, deliverer.